# Δ.Ε. ΠΗΓΑΙ ΤΗΣ ΧΡΙΣΤΙΑΝΙΚΗΣ ΘΡΗΣΚΕΙΑΣ - ΑΓΙΑ ΓΡΑΦΗ

Τά κύρια σημεῖα

1. Ἡ Ἁγία Γραφή ὡς πηγή τῆς Θ. Ἀποκαλύψεως.
2. Τό ἀπόλυτον καί ὕψιστον κῦρος τῆς Ἁγίας Γραφῆς.
3. Ἡ θεοπνευστία τῆς Ἁγίας Γραφῆς.
4. Ἀποδείξεις θεοπνευστίας.
5. Ὠφέλεια ἐκ τῆς μελέτης τῆς Ἁγίας Γραφῆς.

## ΚΕΙΜΕΝΑ

### Α΄ Ἐκ τῆς Παλαιᾶς Διαθήκης

1. "Αὕτη ἡ Βίβλος τῶν προσταγμάτων τοῦ Θεοῦ καί ὁ νόμος ὁ ὑπάρχων εἰς τόν αἰῶνα" (Βαρούχ δ΄ 1).
2. "Οὐκ ἀποστήσεται ἡ Βίβλος τοῦ νόμου τούτου καί ἐκ τοῦ στόματός σου καί μελετήσεις ἐν αὐτῷ ἡμέρας καί νυκτός, ἵνα εἰδῇς ποιεῖν πάντα τά γεγραμμένα" (Ἰησ. Ναυῆ α΄ 8).
3. "Φυλάσσεσθε τάς ἐντολάς Κυρίου τοῦ Θεοῦ ὑμῶν, ὅσα ἐγώ ἐντέλλομαι ὑμῖν σήμερον" (Δευτ. δ΄ 2).

### Β΄ Ἐκ τῆς Καινῆς Διαθήκης

1. "Πᾶσα γραφή θεόπνευστος καί ὠφέλιμος πρός διδασκαλίαν, πρός ἔλεγχον, πρός ἐπανόρθωσιν, πρός παιδείαν τήν ἐν δικαιοσύνῃ" (Β΄ Τιμοθ. γ΄ 16).
2. "Οὐ γάρ θελήματι ἀνθρώπου ἠνέχθη ποτέ προφητεία, ἀλλ' ὑπό Πνεύματος Ἁγίου φερόμενοι ἐλάλησαν ἅγιοι τοῦ Θεοῦ ἄνθρωποι" (Β΄ Πέτρου α΄ 21).
3. "Ἐρευνᾶτε τάς γραφάς, ὅτι ὑμεῖς δοκεῖτε ἐν αὐταῖς ζωήν αἰώνιον ἔχειν· καί ἐκεῖναί εἰσιν αἱ μαρτυροῦσαι περί ἐμοῦ" (Ἰωάν. ε΄ 39).

   (Λουκ. κδ΄27, Α΄Κορινθ. α΄27-28, Ρωμ. ιε΄4, Ἰωάν. γ΄8).

### Γ΄ Ἐκ τῶν Πατέρων τῆς Ἐκκλησίας

1. "Πᾶσα μέν, ὦ τέκνον, ἡ καθ' ἡμᾶς Γραφή, παλαιά τε καί καινή, θεόπνευστός ἐστι καί ὠφέλιμος πρός διδασκαλίαν" (Μ. Ἀθανασίου πρός Μαρκ. 2, P.G. 27, 12).
2. "Τροφή ψυχῆς ἡ Γραφή. Ἐρευνᾶτε τάς Γραφάς. Ἐρευνᾶν εἶπεν ὁ Κύριος τήν ἐπιμελῆ καί νηφάλιον τῶν κεκρυμμένων ἐξέτασιν. Ἐκ τῶν Ἁγίων Γραφῶν ἡ τῶν ἀδήλων φανέρωσις, ἡ τῶν ἐλπίδων βεβαίωσις, ἡ τῶν ὑποσχέσεων ἔκβασις, ἡ τοῦ Σωτῆρος εὕρεσις" (Μ. Ἀθανάσιος. Migne Ε.Π. Τ.ΚΗ΄ σ.1341).
3. "Ὅσα ἡ θεία Γραφή λέγει τοῦ Πνεύματός εἰσι τοῦ Ἁγίου φωναί" (Γρηγόριος Νύσσης VII P.G. 45, 744).
4. "Ὥσπερ δένδρον, παρά τάς διεξόδους τῶν ὑδάτων πεφυτευμένον, οὕτω καί ἡ ψυχή τῇ θείᾳ ἀρδευομένη Γραφῇ πιαίνεται καί καρπόν ὥριμον δίδωσι πίστιν ὀρθόδοξον, καί ἀειθαλέσι τοῖς φύλλοις, ταῖς θεαρέστοις φημί, ὡραΐζεται πράξεσι" (Ἰ. Δαμασκηνοῦ P.G. 94, 1176).
5. "Εὔδιος λιμήν τῶν Γραφῶν ἡ ἀνάγνωσις, λιμήν ἀκύμαντος καί τεῖχος ἀρραγές, καί πύργος ἄσειστος, καί δόξα ἀναφαίρετος, καί ὅπλον ἄτρωτον, καί εὐθυμία ἀμάραντος καί ἡδονή διηνεκής" (Ἰ. Χρυσ. Migne Ε.Π. Τ.ΝΕ΄ σ.413).
6. "Πᾶσα Γραφή, λέγει, θεόπνευστος καί ὠφέλιμος διά τοῦτο συγγραφεῖσα παρά τοῦ Πνεύματος, ἵν' ὥσπερ ἐν κοινῷ τῶν ψυχῶν ἰατρείῳ, πάντες ἄνθρωποι τό ἴαμα τοῦ οἰκείου πάθους ἕκαστος ἐκλεγώμεθα" (Μ. Βασίλειος, Migne, Ε.Π. Τ. ΚΘ΄ σ.209).
7. "Ὅταν προσεύχεσαι, ὁμιλεῖς μέ τόν Θεόν. Ὅταν διαβάζῃς τήν Ἁγίαν Γραφήν σοῦ ὁμιλεῖ ὁ Θεός" (Αὐγουστῖνος).




ΑΓΙΑ ΓΡΑΦΗ

(Κατά τόν Ἱερόν Χρυσόστομον)

ΑΞΙΑ

- Πλοῦτος διδαγμάτων ἀνεξάντλητος
- Θαυμάσιος διδάσκαλος ἀρετῆς
- Πνευματικός λειμών
- Τράπεζα πνευματική
- Πηγή ὕδατος ζῶντος
- Αἱ Γραφαί μᾶς φέρουν εἰς συναίσθησιν.
- "Θεόπνευστος"

ΩΦΕΛΕΙΑΙ

- Σωτήρια φάρμακα ψυχῆς
- Φάρμακον διά κάθε πάθος
- Ἡ ἄγκυρα τῆς ἀσφαλείας
- Πνευματικόν ἰατρεῖον
- Δροσίζει τάς καρδίας
- Μέγα κακόν ἡ ἄγνοια τῶν Γραφῶν.

(Γ.Δημοπούλου, Οἱ θησαυροί τῆς Ἁγίας Γραφῆς, ἐκδ. "Ὁ Σωτήρ", Ἀθῆναι 1960).

ΤΟ ΚΑΘΗΚΟΝ ΜΑΣ

"Ἐρευνᾶτε τάς Γραφάς' Ἐκεῖναί εἰσιν αἱ μαρτυροῦσαι περί Ἐμοῦ"
(Ἰωάν. Ε', 39).

Δ.Ε. ΠΗΓΑΙ ΤΗΣ ΧΡΙΣΤΙΑΝΙΚΗΣ ΘΡΗΣΚΕΙΑΣ - ΙΕΡΑ ΠΑΡΑΔΟΣΙΣ "Η ΑΠΟΣΤΟΛΙΚΗ ΠΑΡΑΔΟΣΙΣ

Τά κύρια σημεῖα

1. Ἀποστολική Παράδοσις (ἔννοια καί ὁρισμός).
2. Γραπτή καί ἄγραφος Παράδοσις.
3. Ἀξία καί σπουδαιότης.
4. Διαφοραί μετά τῶν ἑτεροδόξων.
5. Ἱερά Παράδοσις πηγή ἰσόκυρος καί ἰσοστάσιος πρός τήν Ἁγίαν Γραφήν.

ΚΕΙΜΕΝΑ

Α΄ Ἐκ τῆς Παλαιᾶς Διαθήκης

1. "...ἵνα ὑπάρχωσιν ὑμῖν οὗτοι εἰς σημεῖον κείμενον διαπαντός, ἵνα ὅταν ἐρωτᾷ σε ὁ υἱός σου αὔριον λέγων, τί εἰσίν οἱ λίθοι οὗτοι ἡμῖν; καί σύ δηλώσεις τῷ υἱῷ σου λέγων ὅτι ἐξέλιπεν ὁ Ἰορδάνης ποταμός ἀπό προσώπου κιβωτοῦ, διαθήκης Κυρίου πάσης τῆς γῆς ὡς διέβαινεν αὐτόν καί ἔσονται οἱ λίθοι οὗτοι ὑμῖν : μνημόσυνον τοῖς υἱοῖς Ἰσραήλ ἕως τοῦ αἰῶνος" (Ἰησοῦς Ναυῆ Δ΄, 5-7).

Β΄ Ἐκ τῆς Καινῆς Διαθήκης

1. "Ἔστι δέ καί ἄλλα πολλά ὅσα ἐποίησεν ὁ Ἰησοῦς, ἅτινα εάν γράφηται καθ᾽ ἕν, οὐδέ αὐτόν οἶμαι τόν κόσμον χωρῆσαι τά γραφόμενα βιβλία. ἀμήν" (Ἰωάν. κα΄ 25).
2. "Ἄρα , οὖν, ἀδελφοί, στήκετε καί κρατεῖτε τάς παραδόσεις ἅς ἐδιδάχθητε εἴτε διά λόγου εἴτε δι᾽ἐπιστολῆς ἡμῶν" (Β΄ Θεσσαλ. β΄ 15).
3. "Καί ἅ ἤκουσας παρ᾽ ἐμοῦ διά πολλῶν μαρτύρων, ταῦτα παράθου πιστοῖς ἀνθρώποις, οἵτινες ἱκανοί ἔσονται καί ἑτέρους διδάξαι" (Β΄ Τιμοθ. β΄ 2). (Α΄Κορινθ. ια΄2 , Α΄Τιμοθ. στ΄20 , Ρωμ. στ΄17 , Α΄Κορινθ. ιε΄11).

Γ΄ Ἐκ τῶν Πατέρων τῆς Ἐκκλησίας

1. "Οὐ πάντα ἀπό τῆς θείας Γραφῆς δύναται λαμβάνεσθαι· διό τά μέν ἐν Γραφαῖς, τά δέ ἐν Παραδόσει παρέδωκαν οἱ ἅγιοι Ἀπόστολοι" (Ἐπιφάνιος P.G. 41, 1048).
2. Ἐν τῷ ὅρῳ δέ τῆς Ζ΄Οἰκουμενικῆς Συνόδου γράφονται καί τά ἑπόμενα: "... Μετά πάσης τοίνυν ἀκριβείας ἐρευνήσαντές τε καί διασκεψάμενοι...οὐδέν ἀφαιροῦμεν, οὐδέν προστίθεμεν, ἀλλά πάντα τά τῆς καθολικῆς Ἐκκλησίας ἀμείωτα διαφυλάττομεν...Οὕτω γάρ κρατύνεται ἡ τῶν ἁγίων Πατέρων ἡμῶν διδασκαλία εἴτουν παράδοσις τῆς καθολικῆς Ἐκκλησίας" (Πρᾶξις ΣΤ΄ Mansi 18, 376 καί 380) Π.Τρεμπ. σ.136.
3. "Τῶν ἐν τῇ Ἐκκλησίᾳ πεφυλαγμένων δογμάτων καί κηρυγμάτων τά μέν ἐκ τῆς ἐγγράφου διδασκαλίας ἔχομεν, τά δέ ἐκ τῆς τῶν Ἀποστόλων Παραδόσεως διαδοθέντα ἡμῖν ἐν μυστηρίῳ παραδεξάμεθα, ἅπερ ἀμφότερα τήν αὐτήν ἰσχύν ἔχει πρός εὐσέβειαν" (Μ.Βασ. περί Ἁγ.Πνεύμ. 27,2.- Δογμ. Ἀνδρ. σ.8).
4. Ἀπόσπασμα ἐκ τοῦ Συνοδικοῦ τῆς Ὀρθοδοξίας: "Οἱ Προφῆται ὡς εἶδον, οἱ Ἀπόστολοι ὡς ἐδίδαξαν, ἡ Ἐκκλησία ὡς παρέλαβεν, οἱ Διδάσκαλοι ὡς ἐδογμάτισαν, ἡ οἰκουμένη ὡς συμπεφρόνηκεν, ἡ χάρις ὡς ἔλαμψεν, ἡ ἀλήθεια ὡς ἀποδέδεικται, τό ψεῦδος ὡς ἀπελήλαται, ἡ σοφία ὡς ἐπαρρησιάσατο, ὁ Χριστός ὡς ἐβράβευσεν. οὕτω φρονοῦμεν, οὕτω λαλοῦμεν, οὕτω κηρύσσομεν Χριστόν τόν ἀληθινόν θεόν ἡμῶν...Αὕτη ἡ πίστις τῶν Ἀποστόλων, αὕτη ἡ πίστις τῶν Πατέρων, αὕτη ἡ πίστις τῶν Ὀρθοδόξων, αὕτη ἡ πίστις τήν οἰκουμένην ἐστήριξεν" (Τά Δογματικά καί Συμβολικά Μνημεῖα τῆς Ὀρθοδ.Καθ. Ἐκκλ. Ι.Καρμίρη, σ.244).

# ΙΕΡΑ ΠΑΡΑΔΟΣΙΣ

Γραπτή Παράδοσις

Άγραφος Παράδοσις

Η Παράδοσις κατά τόν Βικέντιον τόν έκ Λειρίνου

ΓΡΑΠΤΑΙ ΠΗΓΑΙ

1. Έγκυροι καί αὐθεντικαί ἑρμηνεῖαι τῆς Γραφῆς.
2. Αποφάσεις, ὅροι Οἰκουμενικῶν Συνόδων.
3. Συμφωνία Πατέρων (Consensum Patrum).
4. Ἐπίσημοι διατυπώσεις καί καί ὁμολογίαι τῆς πίστεως.
5. θεσμοί, ἔθιμα καί πράξεις λατρείας.

"Il teneamus,
quod obique,
quod semper,
quod ab omnibus creditum est.
Hot est enim vere proprieque catholicum"
(Βικέντιος ὁ ἐκ Λειρίνου)
Communit Prim 2.

(Ἄς κρατῶμεν,
ὅ,τι πανταχοῦ,
ὅ,τι πάντοτε,
ὅ,τι ὑπό ὅλων ἐπιστεύθη.
Τοῦτο ἐστιν ἀληθῶς καί κυρίως καθολικόν)

ΥΜΝΟΛΟΓΙΑ

Αἶνοι - Ὅλην ἀποθέμενοι - (Κυρ. Αγ. Πατέρων)

Ὅλην συγκροτήσαντες
τήν τῆς ψυχῆς ἐπιστήμην
καί τῷ θείῳ πνεύματι
συνδιασκεψάμενοι, τό οὐράνιον
καί σεπτόν σύμβολον
οἱ σεπτοί πατέρες
θεογράφως διεχάραξαν
ἐν ᾧ σαφέστατα

τῷ Γεγεννηκότι
συνάναρχον
τόν Λόγον ἐκδιδάσκουσι
καί παναληθῶς ὁμοούσιον,
ταῖς τῶν ἀποστόλων
ἑπόμενοι προδήλως διδαχαῖς
οἱ εὐκλεεῖς καί πανόλβιοι
ὄντως καί θεόφρονες.

"Στήκετε καί κρατεῖτε τάς παραδόσεις" (Β΄ Θεσ. θ΄ 15).